σκάπτειν μεθ' ἡμῶν σ'. εἰ τύχοι γὰρ τοῦτ' ἰδών,
ἴσως ἂν ὑπομείνειε καὶ παρὰ σοῦ τινα
λόγον, νομίσας αὐτουργὸν εἶναι τῷ βίῳ
πένηθ'.
(Σω.) ἕτοιμος πάντα πειθαρχεῖν· ἄγε.
Γο. τί κακοπαθεῖν σαυτὸν βιάζῃ;
Δα. βούλομαι
ὡς πλεῖστον ἡμᾶς ἐργάσασθαι τήμερον,
τοῦτόν τε τὴν ὀσφῦν ἀπορρήξανθ' ἅμα
παύσασθ' ἐνοχλοῦνθ' ἡμῖν προσιόντα τ' ἐνθάδε.
Σω. ἔκφερε δίκελλαν.
(Δα.) τὴν παρ' ἐμοῦ λαβὼν ἴθι.
τὴν αἱμασιὰν ἐποικοδομήσω γὰρ τέως
ἐγώ· ποητέον δὲ καὶ τοῦτ' ἐστί.
(Σω.) δός.
(Δα.) ἀπέσωσας. ὑπάγω, τρόφιμ'· ἐκεῖ διώκετε.
(Σω.) οὕτως ἔχω γάρ· ἀποθανεῖν ἤδη με δεῖ
ἢ ζῆν ἔχοντα τὴν κόρην.
(Γο.) εἴπερ λέγεις
ἃ φρονεῖς, ἐπιτύχοις.
(Σω.) ὦ πολυτίμητοι θεοί·
οἷς ἀποτρέπεις νυνὶ γὰρ ὡς οἴει με σύ,
τούτοις παρώξυμμ' εἰς τὸ πρᾶγμα διπλασίως.
εἰ μὴ γὰρ ἐν γυναιξίν ἐστιν ἡ κόρη
τεθραμμένη, μήδ' οἶδε τῶν ἐν τῷ βίῳ
τούτῳ κακῶν μηδὲν ὑπὸ τηθίδος τινὸς



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416933327/32 UNIVERSITÄT LEIPZIG